www.tezaurliturgic.ro

18 β

27 Ιουλίου

# ΙΕΡΑ ΑΚΟΛΟΥΘΙΑ

## ΤΗΣ ΑΓΙΑΣ ΕΥΒΟΥΛΗΣ

## ΜΗΤΡΟΣ
## ΤΟΥ ΑΓΙΟΥ ΠΑΝΤΕΛΕΗΜΟΝΟΣ



ΨΑΛΛΟΜΕΝΗ ΤΗι ΚΖ' ΙΟΥΛΙΟΥ

www.tezaurliturgic.ro

# ΜΗΝΙ ΙΟΥΛΙΩ ΚΖ′
# ΜΝΗΜΗ ΤΗΣ ΑΓΙΑΣ ΕΥΒΟΥΛΗΣ
## ΜΗΤΡΟΣ ΤΟΥ ΑΓΟΥ ΠΑΝΤΕΛΕΗΜΟΝΟΣ

## ΕΝ ΤΩι ΕΣΠΕΡΙΝΩι

**Μετά τόν Προοιμιακόν, τό Μακάριος ἀνήρ.**

**Εἰς δέ τό Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ′ καί ψάλλομεν γ′ τοῦ Ἁγίου Παντελεήμονος, καί γ′ τῆς Ἁγίας Εὐβούλης.**

**Τοῦ Ἁγίου Παντελεήμονος**
**Ἦχος δ′. Ὁ ἐξ ὑψίστου κληθείς.**

Ὁ ἐπαξίως κληθείς Παντελεήμων...
Ὁ ἰαμάτων τήν χάριν δεδεγμένος...
Ὁ ἐξ ἀΰλων πηγῶν τοῦ σωτηρίου...

**Τῆς Ἁγίας Εὐβούλης, τά ἑξῆς:**
**Ἦχος δ′. Ὡς γενναῖον ἐν μάρτυρσι.**

Ὡς τῷ φόβῳ τοῦ κρείττονος, τήν ζωήν κατευθύνουσα, ἐναρέτοις πράξεσιν ἐθεράπευσας, καί πολιτείας σεμνότητι, καί τρόπων σεμνότητι, καί ἀγάπῃ ἀληθεῖ, καί καρδίας θερμότητι, τόν Παντάνακτα, διά τοῦτο Εὐβούλη, τῆς ἀλήκτου βασιλείας ἠξιώθης καί τῆς Ἁγίων λαμπρότητος.

www.tezaurliturgic.ro

Ὡς ἐλαία κατάκαρπος, ἐν αὐλαῖς τοῦ Θεοῦ ἡμῶν, γεωργία πίστεως ἀνεβλάστησας, οἷα καρπόν εὐθαλέστατον, τόν Παντελεήμονα τόν ἐν μάρτυσι κλεινόν, οὗ τό ἔλεος ἄφθονον, ἐν τοῖς πάσχουσιν, μεθ᾽ οὗ ἤδη Εὐβούλη μακαρία, ἐν Χριστῷ εὐφραινομένη ὑπέρ ἡμῶν ἀεί πρέσβευε.

Εὐβουλίᾳ τῆς χάριτος, καί ἐν γνώμῃ θεόφρονι, φερωνύμως ἅπαντα διετέλεσας, Εὐβούλη μῆτερ θεόληπτε, τόν ἅγιον βίον σου, καί Ἁγίων τοῖς χοροῖς μετά τέλος τό ὅσιον συνηρίθμησαι, καί ὁρᾷς σύν υἱῷ σου τῷ ἁγίῳ, τῆς Τριάδος τῆς Ἁγίας, τάς ὑπέρ λόγον λαμπρότητας.

**Δόξα. Τοῦ Ἁγίου**
**Καί νῦν. Θεοτοκίον.**

Εἴσοδος. Φῶς ἱλαρόν. Τό προκείμενον τῆς ἡμέρας καί τά ἀναγνώσματα τοῦ Ἁγίου.

## Εἰς τήν Λιτήν

## Ψάλλομεν τοῦ Ἁγίου καί εἶτα τῆς Ἁγίας τά ἑξῆς:

### Ἦχος α'.

Φερωνυμίᾳ κοσμουμένη, τοῖς ἔργοις ἐπεσφράγισας, τήν δοθεῖσαν σοι κλῆσιν, σοφῶς γάρ βουλευσαμένη, ἐν τῷ νόμῳ τῆς χάριτος,

www.tezaurliturgic.ro

ἐν ὁσιότητι καί δικαιοσύνῃ Εὐβούλη διέπρεψας· καί θεράπαινα ἐκλεκτή, καί ἁγία ἐν ἅπασι, τοῦ ἐν ἁγίοις δοξαζομένου Θεοῦ ἡμῶν, ἀληθῶς ἀνεδείχθης, πάντα γάρ τά σά Χριστῷ ἀνέθου, ὅλῃ ψυχῇ Αὐτόν ἀγαπήσασα, καί νῦν τῆς ἄνω ζωῆς, ἐπαξίως τυχοῦσα, σύν τῷ υἱῷ σου πρέσβευε ὑπέρ τῶν τιμώντων σε.

### Ἦχος β΄.

Εὐαγγελικῶς Χριστῷ λατρεύουσα, καί σωφρόνως καί δικαίως πορευομένη, ἐν τοῖς δικαιώμασι Κυρίου, μακαρία μήτηρ πέφυκας Εὐβούλη θεόφρον. Ὡς γάρ ῥίζα ἀγλαόκαρπος, βλαστόν θεῖον προήγαγες, Παντελεήμονα τόν ἔνδοξον, καί καλῶς αὐτόν ἐκθρέψασα, ἐν παιδείᾳ καί νουθεσίᾳ κρείττονι, ὡς προσφοράν εὐπρόσδεκτον τῷ Θεῷ προσήγαγες, τόν σόν ἄμεμπτον βίον, διό στεφάνῳ δόξης σε, ὁ Σωτήρ λαμπρῶς ἐκόσμησε.

### Ἦχος γ΄.

Ἀρετῶν ἐπιδόσεσι, καί ἀγαθῶν πλούτῳ πράξεων, ὡς τά ἄνω φρονοῦσα καί ζητοῦσα τόν Θεόν ἐδόξασας, Εὐβούλη θεόληπτε. Τῶν γάρ χαμαί συρομένων, τόν νοῦν χωρήσασα, πρός τό βραβεῖον τῆς ἄνω κλήσεως, ὁλοτρόπῳ σπουδῇ ἔσπευσας, θεοπρεπῶς ἀκολουθήσασα, τοῦ Σωτῆρος τοῖς ῥήμασι, καί νῦν τυχοῦσα τῆς ἐφέσεως, καί τῆς μακαρίας ἐμφορουμένη χαρᾶς, ἀδιαλείπτως πρέσβευε, τυχεῖν καί ἡμᾶς, τῆς θείας μακαριότητος.

www.tezaurliturgic.ro

**Δόξα, τοῦ Ἁγίου, ἐκ τοῦ Μηναίου.**

## Ἀπόστιχα

**Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.**

Παντελεήμονος μνήμην τοῦ ἐλεήμονος, μετ' ἐγκωμίων, ἄγειν φιλομάρτυσι χρέος, οὗτος γάρ τόν μόνον ἐν οἰκτιρμοῖς, καί ἐλέει ἀνείκαστον, τῇ συμπαθείᾳ ζηλώσας τήν παρ' Αὐτοῦ, θείαν χάριν ἐκομίσατο.

**Στιχ. Ὑπομένων ὑπέμεινα τόν Κύριον...**

Ταῖς ἐντολαῖς τοῦ Κυρίου Εὐβούλη πάνσεμνε, καλῶς πολιτευθεῖσα, θεολήπτῳ καρδίᾳ, τῆς ἄνω Βασιλείας τῶν ὑπέρ νοῦν, ἀγαθῶν κατηξίωσαι, καί τῶν ἁγίων τῆς δόξης συγκοινωνός, ἀνεδείχθης καί συμμέτοχος.

**Στιχ. Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις Αὐτοῦ...**

Τόν τοῦ Χριστοῦ ἀριστέα Παντελεήμονα, καί τήν αὐτόν τεκοῦσαν, θεοφόρον Εὐβούλην τιμήσωμεν βοῶντες συμφώνως αὐτοῖς. Τόν Χριστόν ἱκετεύσατε, μῆτερ ἁγία καί τέκνον θεοειδές, τοῦ σωθῆναι τάς ψυχάς ἡμῶν.

**Δόξα, τοῦ ἁγίου, ἐκ τοῦ Μηναίου.**

**Ἀπολυτίκιον τοῦ Ἁγίου.**

www.tezaurliturgic.ro

### Ἦχος γ'. Θείας πίστεως.

Θείων τρόπων σου τῇ ἐπιστήμῃ, νέμεις ἄμισθον, τήν θεραπείαν, τῶν ψυχῶν καί τῶν σωμάτων ἐν πνεύματι, ὅθεν ἡμᾶς πάσης νόσου ἀπάλλαξον, Παντελεήμων ἐλέους θησαύρισμα, μάρτυς ἔνδοξε, Χριστόν τόν Θεόν ἱκέτευε, δωρήσασθε ἡμῖν τό μέγα ἔλεος.

### Ἀπολυτίκιον τῆς Ἁγίας Εὐβούλης.
### Ἦχος πλ. α'. Τόν συνάναρχον λόγον.

Φερωνύμως τό θεῖον Κυρίου βούλημα, θεοφόρε Εὐβούλη καλῶς πεπλήρωκας, καί ἁγίων τῆς χαρᾶς λαμπρῶς ἠξίωσαι, σύν υἱῷ σου ἀθλητῇ, μεθ' ὧν πρέσβευε ἀεί, διδόναι πταισμάτων λύσιν, τοῖς σέ τιμῶσιν Ἁγία, παρά Θεοῦ καί μέγα ἔλεος.

Της ερημου πολιτης ηχος α'
ΚΟΙΝΟΝ
Τηω αγίω ναῷ σου αθλητα γενναιόσατε, άπο πειρασμών σου βελίαρ και ανθρώπων προστάτευσον, ομου συν τῆ φυσάση σε μητρί, Ευβούλη τη αγία γυναικί, ίνα μελπομεν εκ βάθους των καρδιών, κραυγαζουτες τους άθλους σου, Χαίροις Παντελεήμων αθλητά.
Χαίροις παμμάκαρ άγιε,
Χαίροις των ασθενούντων ιατρός ο ακατάβλητος.

www.tezaurliturgic.ro

# ΕΝ ΤΩι ΟΡΘΡΩι

**Μετά τήν α' στιχολογίαν. Κάθισμα.**
**Ἦχος α'. Τόν τάφον Σου Σωτήρ.**

Μητρός τό εὐσεβές...

**Δόξα, ὅμοιον τῆς Ἁγίας.**

Ὡς ρίζα εὐκλεής, γεωργεῖς τῷ Κυρίῳ, βλαστόν ἀειθαλῆ, θεοφόρε Εὐβούλη, ἐλέους τόν ἐπώνυμον καί ἐν μάρτυσιν ἔνδοξον, μεθ᾽ οὗ σήμερον, ἀσματικῶς σε τιμῶμεν, ἵνα λάβωμεν, ταῖς πρός Θεόν σου πρεσβείαις, πταισμάτων συγχώρησιν.

**Καί νῦν. Θετοκίον.**

Δυσώπει ἐκτενῶς, τόν Υἱόν σου Παρθένε, ὡς σκέπη τῶν πιστῶν καί ἀντίληψις μόνη, διδόναι ἡμῖν ἔλεος καί πταισμάτων τήν ἄφεσιν, ὡς ἄν Ἄχραντε, ἐν μετανοίᾳ τελείᾳ βιωσάμενοι, τῆς οὐρανῶν Βασιλείας, γενώμεθα μέτοχοι.

**Μετά τήν β' στιχολογίαν. Κάθισμα.**
**Ἦχος δ'. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.**

Ὡς στρατιώτην τοῦ Χριστοῦ ἀκαθαίρετον...

**Δόξα, ὅμοιον, τῆς Ἁγίας.**

www.tezaurliturgic.ro

Ἐν εὐσεβείᾳ καί ἐν ἔργοις ὁσίοις, ὅλον τόν βίον διανύσασα μῆτερ, τοῦ Παρακλήτου σκεῦος ὤφθης εὔχρηστον, ὅθεν τῶν καμάτων σου, δεδεγμένη τό γέρας, πρέσβευε πρός Κύριον, μακαρία Εὐβούλη, ἵνα ρυσθῶμεν πάσης ἀπειλῆς καί προσβολῆς, τοῦ δεινοῦ πολεμήτορος.

**Καί νῦν. Θεοτοκίον**

Ὑπερφυῶς ἐκ τῶν ἁγνῶν σου αἱμάτων, μετά σαρκός τόν Ὑπερούσιον Λόγον, δίχα τροπῆς τεκοῦσα καί συγχύσεως, μέγα ἱλαστήριον, καί σωτήριος κλῖμαξ, τῶν ἀνθρώπων πέφηνας, διασώζουσα πάντας, τούς ὀρθοδόξους μέλποντας Ἁγνή, τοῦ τοκετοῦ σου τό μέγα μυστήριον.

**Μετά τόν Πολυέλεον, Κάθισμα.**
**Ἦχος δ'. Ἐπεφάνης σήμερον.**

Ἑορτάζει σήμερον ἡ οἰκουμένη...

**Δόξα, ὅμοιον, τῆς Ἁγίας.**

Εὐβουλίας κρείττονος μῆτερ Εὐβούλη, τούς καρπούς τρυγήσασα, τάς διανοίας τῶν πιστῶν, ταῖς πρός Χριστόν ἱκεσίαις σου, ἀεί ἐκτρέφεις, μεθέξει τῆς χάριτος.

**Καί νῦν. Θεοτοκίον.**

www.tezaurliturgic.ro

Παναγία Δέσποινα Χριστοῦ ἡ μήτηρ, καί θερμή ἀντίληψις τῶν εὐσεβῶν χριστιανῶν, σκέπε ἀπαύστως καί φύλαττε, πάσης ἀνάγκης τούς σέ μεγαλύνοντας.

**Ἀντίφωνα καί λοιπά ὡς ἔχουν ἐν τῷ Μηναίῳ.**

Εἶτα οἱ Κανόνες, τῆς Θεοτόκου καί τοῦ Ἁγίου ὡς ἔχουν ἐν τῷ Μηναίῳ, καί τῆς Ἁγίας ὡς ἑξῆς, οὗ ἡ ἀκροστοχίς:

«Τήν θεόφρονα Εὐβούλην μέλπω. Γερασίμου.»

**Ωδή α΄.**

**Ἦχος πλ. β΄. Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραήλ.**

Τῆς μακαρίας τυχοῦσα μῆτερ ζωῆς, καί τοῦ θείου πνεύματος, λαμπομένη τῷ φωτί, φωτισμόν μοι δίδου σαῖς λιταῖς, ἀνυμνοῦντι σου Εὐβούλη τό μνημόσυνον.

Ἡ καθαρά πολιτεία σου καί σεμνή, ὥσπερ δῶρον ἅγιον, προσενήνεκται Θεῷ, ὅθεν οὐρανίων ἀγαθῶν, ὁ Σωτήρ ἡμῶν Εὐβούλη σε ἠξίωσε.

Νόμον τόν θεῖον πληροῦσα πίστει θερμῇ, καί νομίμως πάνσεμνε, θεραπεύουσα Θεόν, μήτηρ ἀληθῶς θεοφιλής, ἀνεδείχθης τοῦ κλεινοῦ Παντελεήμονος.

**Θεοτοκίον.**

Θεοχαρίτωτε Κόρη ἡ τῶν πιστῶν, κραταιά βοήθεια, καί ἐλπίς χριστιανῶν, ῥῦσαι με παθῶν ἐπαγωγῆς, καί πικρῶν ἐπηρειῶν τοῦ πολεμήτορος.

**Ὠδή γ΄. Οὐκ ἔστιν ἅγιος ὡς Σύ.**

Ἐνδεδυμένη τήν στολήν, τήν ἐξ ἔργων ἁγίων, μυστικῶς ὑφανθεῖσαν, ἀνεκλήθης ἐν χαρᾷ, ἐν τῷ νυμφῶνι Χρστοῦ, ὦ Εὐβούλη, καθαρῶς βιώσασα.

Ὅλη καρδίᾳ καί ψυχῇ, ἀγαπήσασα μῆτερ, τόν Σωτῆρα τῶν ὅλων, ἠκολούθησας Αὐτῷ ἀνεπιλήπτῳ ζωῇ, καί ἀμέμπτοις, ἤθεσι καί πράξεσι.

Φόβῳ τειχίσασα τόν νοῦν, τοῦ Θεοῦ μακαρία, μακαρίως τόν βίον, διελήλυθας ἐν γῇ καί τῆς ἀλήκτου ζωῆς, ὦ Εὐβούλη, ἐπαξίως ἔτυχες.

**Θεοτοκίον.**

Ῥάβδον βλαστήσασα Χριστόν, ὥσπερ ἄνθος εὐῶδες, ἀποτίστως προγράφει Ἡσαΐας σε Ἁγνή, σύ γάρ τόν πάντων Θεόν ὑπέρ λόγον, τέτοκας δι᾽ ἔλεος.

**Κάθισμα. Τοῦ Ἁγίου Παντελεήμονος, ἐκ τοῦ Μηναίου.**

**Τῆς Ἁγίας.**

www.tezaurliturgic.ro

**Δόξα**
**Ἦχος δ'. Ταχύ προκατάλαβε.**

Εὐβούλως ἐβίωσας, καί θεαρέστως σεμνή, τάς ῥήσεις πληρώσασα, τάς σωτηρίους Χριστοῦ, Εὐβούλη θεόπνευστε, ὅθεν τῆς τῶν Ἁγίων, ἠξιώθης εὐκλείας, στέφος ἀθανασίας, ἐκ Θεοῦ δεδεγμένη ᾧ πρέσβευε δεόμεθα, ὑπέρ τῶν τιμώντων σε.

**Καί νῦν. Θεοτοκίον.**

Τεκοῦσα ἐν σώματι, τόν Ποιητήν τοῦ παντός τήν φύσιν ἀνέπλασας, τήν συντριβεῖσαν ἡμῶν ἀπάτῃ τοῦ ὄφεως. Ὅθεν σε ὡς αἰτίαν, τῆς ἡμῶν σωτηρίας, μέλπομεν Θεοτόκε, καί πιστῶς σοι βοῶμεν, χαῖρε τῆς ἀφθαρσίας, πηγή ζωοπάροχος.

**Ὠδή δ'. Χριστός μου δύναμις.**

Ὁσίαις πράξεσι, Θεῷ λατρεύουσα, ὁσιώτατον σκεῦος περιφανές ὤφθης παμμακάριστε πρός τήν αἰώνιον ζωήν, τάς πορείας σου ἰθύνουσα.

Νοΐ θεόφρονι, μήτηρ θεόληπτε, εὐβουλίαις ἁγίαις τοῦ εὐκλεοῦς, ἀθλοφόρου πέφηνας Παντελεήμονος σαφῶς, ὦ Εὐβούλη παναοίδιμε.

Ἀμέμπτως ἤνυσας, μῆτερ τόν βίον σου, σωφροσύνῃ καί γνώμῃ θεοφιλεῖ, ὅθεν μεταβέβηκας πρός τήν οὐράνιον ζωήν, σύν ἀγγέλοις ἐπαγάλλεσθαι.

www.tezaurliturgic.ro

Ἐλαία εὔκαρπος, Εὐβούλη πέφηνας, ἐν αὐλαῖς τοῦ Κυρίου δαυιτικῶς, καί Παντελεήμονα, ὥσπερ βλαστόν ἀειθαλῆ, καί κατάκαρπον ἐβλάστησας.

**Θεοτοκίον.**

Ὑψίστου σκήνωμα, περιφανέστατον, Θεοτόκε Παρθένε σκεῦος φωτός, τήν ψυχήν μου ἔργασαι, ἀποκαθαίρουσα αὐτήν, τῶν ἐκτόπων ἐνθυμήσεων.

**Ὠδή ε'. Τῷ θείῳ φέγγει σου ἀγαθέ.**

Βίβλους Εὐβούλη τάς ἱεράς, γνώμῃ μελετῶσα νουνεχεῖ, ἐν ταύταις πλοῦτον ἀκήρατον εὗρες αἰωνίου ζωῆς δοξάζουσα, τόν δι᾽ αὐτῶν τῷ κόσμῳ λαλοῦντα Κύριον.

Ὁ τῆς νηδύος τῆς σῆς καρπός, ὁ γεωργηθείς θεοφιλῶς, Παντελεήμων ὁ ἔνδοξος, τῷ Θεῷ προσήχθη πόνοις ἀθλήσεως, Εὐβούλη μακαρία ὡς θῦμα ἅγιον.

Ὕδωρ τό ἄφθαρτον ἐκ πηγῆς, μῆτερ σωτηρίου μυστικῶς, εἰσδεξαμένη ἐν πνεύματι τόν τῆς ἁμαρτίας χειμάρρουν πέφευγας, καί πρός λιμένα ἔφθασας τόν οὐράνιον.

**Θεοτοκίον.**

www.tezaurliturgic.ro

Λυχνία ὤφθης χρυσοειδής, τέξασα ἐν σώματι ἡμῖν, Πατρός Ἁγνή τό ἀπαύγασμα, ὅθεν τῶν τοῦ σκότους παθῶν με λύτρωσαι, καί φέγγει μετανοίας τόν νοῦν μου λάμπρυνον.

**Ὠδή στ'.**
**Τοῦ βίου τήν θάλασσαν.**

Ἡλίου τήν ἔλλαμψιν, τοῦ ἀδύτου μυστικῶς, εἰσδεξαμένη ἔνδοξε, ἐν τοῖς ἔργοις διέπρεψας τοῦ φωτός, Εὐβούλη θεόληπτε, καί πρός φῶς τό οὐράνιον ἀνέδραμες.

Ναός θείας χάριτος, ἀνεδείχθης ἀληθῶς, δι᾽ ἐργασίας κρείττονος, καί ναόν πρός οὐράνιον ἐν χαρᾷ, Εὐβούλη ἐχώρησας, τήν ζωήν ὁσίως ἐκτελέσασα.

Μητέρα σε ἔνθεον, ὁ σός πόθος πρός Χριστόν, Εὐβούλη ἀναδείκνυσι, γαλουχεῖς γάρ ἐν πίστει τῇ ἀληθεῖ, τόν Παντελεήμονα, μεθ᾽ οὗ πάντες τιμῶμεν σε γηθόμενοι.

**Θεοτοκίον.**

Ἐξέλαμψεν Ἄχραντε, ἐκ γαστρός σου ὑπέρ νοῦν, σαρκός ἐν ὁμοιώματι, τοῦ Πατρός τό ἀπαύγασμα ἐπί γῆς, Χριστός ὁ Θεός ἡμῶν, καί τῆς πλάνης τό σκότος διαλέλυκε.

## Κοντάκιον
**Ἦχος δ'. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.**

www.tezaurliturgic.ro

Καθάπερ ρίζα εὐσεβής καί ἁγία, ἀναβλαστήσασα Εὐβούλη θεόφρον, τόν ἀθλητήν Χριστοῦ Παντελεήμονα, ἀρεταῖς ἐκόσμησας, τήν ὁσίαν ζωήν σου, καί Ἁγίων μέτοχος μετά τέλος ἐγένου, μεθ᾽ ὧν δυσώπει σώζεσθαι ἡμᾶς, πάσης ἀνάγκης, τούς σέ μακαρίζοντας.

Εἶτα τό Κοντάκιον, τόν Οἶκον
καί τό συναξάριον τοῦ ἁγίου Παντελεήμονος
ἐκ τοῦ Μηναίου, καί ἐν συνεχείᾳ τά ἑξῆς:

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμην τελοῦμεν
**τῆς Ἁγίας καί μακαρίας Εὐβούλης,**
μητρός τοῦ Ἁγίου Παντελεήμονος.

Στιχ. Ἐν οὐρανοῖς σύνεστιν ἀθλητῇ τέκνῳ,
ἀθλομήτωρ καλλίτεκνος Εὐβούλη.

Ταῖς αὐτῶν πρεσβείαις Χριστέ ὁ Θεός,
ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.

**Ὠδή ζ'. Δροσοβόλον μέν.**

Λαμπρυνθεῖσα τήν διάνοιαν θεόληπτε, ταῖς θεαρέστοις πράξεσιν, τόν τοῦ σκότους ἄρχοντα μῆτερ, ἤσχυνας σοφῶς καί χαίρουσα ἔψαλλες Χριστῷ, εὐλογητός εἶ ὁ Θεός ὁ τῶν Πατέρων ἡμῶν.

www.tezaurliturgic.ro

Πολιτείας ἐναρέτου κατορθώμασι, ἡγιάσθης, καί τῷ Σωτῆρι κάρπωμα δεκτόν, προσήχθης βοῶσα ἐμμελῶς, εὐλογητός εἶ ὁ Θεός ὁ τῶν Πατέρων ἡμῶν.

Ὥσπερ ἄμπελος Χριστῷ ἐκαρποφόρησας, οἷά περ βότρυν πέπειρον, τόν ὡραῖον βλαστόν σου μῆτερ, στάζοντα ἡμῖν, τό νέκταρ τῆς χάριτος ἀεί, τοῖς ἑορτάζουσι τήν σήν μνήμην Εὐβούλη σεμνή.

**Θεοτοκίον.**

Γεωργήσασα ἀγεωργήτως Ἄχραντε, ξύλον ζωῆς τόν Κύριον, ψυχικοῦ με θανάτου ῥῦσαι χάριτι τῇ σῇ καί δίδου μοι δύναμιν πατεῖν, τάς κατ᾽ ἐμοῦ τοῦ πονηροῦ, ἐπιβουλάς χαλεπάς.

**Ὠδή η'. Ἐκ φλογός τοῖς ὁσίοις.**

Ἐντολῶν τοῦ Κυρίου ἐργάτις δόκιμος, ἀνενδότῳ καρδίᾳ Εὐβούλη γέγονας, ὅθεν τῆς Αὐτοῦ βασιλείας μετέσχηκας, μετά τοῦ υἱοῦ σου, Χριστόν ὑπερυψοῦσα.

Ῥοῦν τῆς πλάνης φυγοῦσα στερρῷ φρονήματι, καί Χριστῷ ἑπομένη ἐνθέῳ ἔρωτι τῆς τῶν ἐκλεκτῶν, κληρουχίας ἠξίωσαι, ἔνδοξε Εὐβούλη, ἐν ταῖς σκηναῖς Ἁγίων.

www.tezaurliturgic.ro

Ἁγιότι βίου σαυτήν κοσμήσασα, τόν πανάγιον Λόγον ὡς ἀγαπήσασα, στέφος εὐπρεπές, παρ᾽ Αὐτοῦ μῆτερ δέδεξαι, καί ταῖς τῶν Ἁγίων, ἠρίθμησαι χορείαις.

**Θεοτοκίον.**

Σαρκωθείς ἐξ αἱμάτων σου ὁ Ὑπέρθεος, τῶν ἀνθρώπων τήν φύσιν Ἁγνή ἐθέωσε, ὅθεν ὡς πηγήν, τῆς ἡμῶν ἀναπλάσεως, μέλπομέν σε Κόρη, εἰς πάντας τούς αἰῶνας.

**Ὠδή θ΄. Θεόν ἀνθρώποις.**

Ἰσχύς Εὐβούλη θεία σοι δέδοται, δι᾽ ἧς ἐν σωφροσύνῃ καί ἐν πάσῃ σεμνότητι ἐπί γῆς τήν ζωήν διήνυσας, Θεῷ εὐαρεστήσασα, τῷ σέ πάνσεμνε, πρός τάς οὐρανίους, ἀναπαύσεις μεταστήσαντι.

Μῆτερ ἁγία καί θεοφόρητε, τοῦ θαυμαστοῦ ἐν μάρτυσι Παντελεήμονος, ἀρετῶν κειμήλιον ἔμψυχον, σύν τῷ υἱῷ σου πάντοτε καθικέτευε, ὑπέρ ἡμῶν Εὐβούλη, τῶν ἐν ὕμνοις γεραιρόντων σε.

Ὁσίων τάξεσι συνηρίθμησαι, ὡς τῷ Χριστῷ ὁσίως καί ἀμέμπτως δουλεύσασα, καί ἀΰλῳ φωτί δεδόξασαι, μεθέξει θεωθεῖσα τῇ ὑπέρ ἔννοιαν, ἧς καί ἡμᾶς Εὐβούλη μετασχεῖν Χριστόν ἱκέτευε.

www.tezaurliturgic.ro

### Θεοτοκίον.

Ὕδατος ζῶντος πηγή ἀκένωτος, τήν φλεγομένην καύσωνι παθῶν τε καί θλίψεων, δυσωπῶ σε ψυχήν μου δρόσισον, καί πότισόν με Κόρη τήν θείαν χάριν ὡς ἄν τῆς δυναστείας περιγένωμαι τοῦ δράκοντος.

## Ἐξαποστειλάριον

τό τοῦ Ἁγίου Παντελεήμονος
καί τό ἑξῆς τῆς Ἁγίας Εὐβούλης.

## Οὐρανόν τοῖς ἄστροις.

Θεοπρεπῶς ἐν κόσμῳ, εὐαρεστήσασα Θεῷ, ἐπουρανίου εὐκλείας, κατηξιώθης μυστικῶς, ὑπέρ ἡμῶν δυσωποῦσα, τῶν σέ τιμώντων Εὐβούλη.

### Θεοτοκίον.

Θεόν ἀφράστως τεκοῦσα, εἰς ἀνακαίνησιν βροτῶν, τήν ρυπωθεῖσαν ψυχήν μου ἐκκάθαρον ἐκ τῶν παθῶν, καί ῥῦσαι με Θεοτόκε, ἐπινοιῶν τοῦ Βελίαρ.

## Εἰς τούς Αἴνους

**Ἱστῶμεν στίχους στ΄ καί ψάλλομεν γ΄ τοῦ Ἁγίου Παντελεήμονος καί γ΄ τῆς Ἁγίας Εὐβούλης.**

www.tezaurliturgic.ro

### Ἦχος πλ. δ'. Ὢ τοῦ παραδόξου θαύματος.

Ἔλεος Θεοῦ μιμούμενος...
Ἔργον προνοίας τῆς ἄνωθεν...
Κάλλει θεόφρον τοῦ σώματος...

### Καί τῆς Ἁγίας.
### Ἦχος α'
### Πανεύφημοι μάρτυρες.

Εὐβούλη δοχεῖον ἐκλεκτόν, πάσης καθαρότητος, ζωῆς ὁσίας θησαύρισμα, Παντελεήμονος, τοῦ στερροῦ ὁπλίτου, μήτηρ θεοφόρητος, σύν τούτῳ ἐκτενῶς καθικέτευε, Χριστόν δεόμεθα, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τήν εἰρήνην καί τό μέγα ἔλεος.

Εὐβούλη θεράπαινα Θεοῦ, ὤφθης βίῳ κρείττονι, εὐαγγελίου τά ῥήματα καλῶς πληρώσασα, καί ἀμέμπτοις τρόποις, ἐπί γῆς λατρεύσασα, τῷ σέ πρός οὐρανόν μετοικίσαντι, ὅν καθικέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τήν εἰρήνην καί τό μέγα ἔλεος.

Εὐβούλη βουλῆς τῆς θεϊκῆς, εὐσεβῶς βαδίσασα, δι᾽ ἀρετῆς καί σεμνότητος ἐνθέῳ ἔρωτι, τήν ὁδόν Ὁσία, πρός πόλιν οὐράνιον, ἐσκήνωσας Ἁγίων σύν τάγμασι, μεθ᾽ ὧν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τήν εἰρήνην καί τό μέγα ἔλεος.

www.tezaurliturgic.ro

## Δόξα. Ἦχος δ΄.
## Ἀμφοτέρων.

Γενεά εὐθέων εὐλογητή πέφυκε, κατά Δαβίδ τόν θεῖον, ἐν εὐλογίαις θείας χρηστότητος. Ἰδού γάρ Παντελεήμων ὁ περίδοξος, ὁ μέγας ἐν ἀθληταῖς καί ἀήττητος, καί ἐν θαύμασι περιφανής, καί ἡ τούτου ἁγία μήτηρ, Εὐβούλη ἡ θεοτίμητος, τῆς μακαρίας ζωῆς τό ἔμψυχον σκεῦος, ἐν τοῖς δικαιώμασι Κυρίου πορευθέντες, τῆς οὐρανίου δόξης, ἄμφω ἠξιώθησαν καί τοῦ ξύλου τῆς ζωῆς τυχόντες, τόν τῆς θεώσεως καρπόν ἐτρύγησαν. Αὐτοῖς καί ἡμεῖς βοήσωμεν δυάς ἁγία καί θεοδόξαστε, υἱέ μητρός θεοφιλοῦς, καί μήτηρ τέκνου θεοειδοῦς, τῇ Παναγίᾳ Τριάδι πρεσβεύσατε, σωθῆναι τάς ψυχάς ἡμῶν.

**Καί νῦν. Θεοτοκίον.**
**Ἐκ παντοίων κινδύνων...**

**Δοξολογία μεγάλη καί Ἀπόλυσις.**

www.tezaurliturgic.ro

# ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τά τυπικά, οἱ μακαρισμοί, καί ἐκ μέν τοῦ κανόνος
τοῦ Ἁγίου Παντελεήμονος ἡ γ΄ ᾠδή,
ἐκ δέ τοῦ κανόνος τῆς Ἁγίας Εὐβούλης ἡ στ΄.
Ἀπόστολον καί Εὐαγγέλιον ὅρα τῇ κζ΄ Ἰουλίου.

**Κοινωνικόν. Εἰς μνημόσυνον...**

## Μεγαλυνάρια.

**Τοῦ Ἁγίου Παντελεήμονος.**

Χαίροις ἀναργύρων ἡ καλλονή, ὦ Παντελεήμων, ἀθλοφόρε Χριστοῦ κλεινέ, χαίροις ὁ ἐν οἴκτῳ, πηγάζων τάς ἰάσεις, καί πάντας θεραπεύων, τούς προσιόντας σοι.

**Τῆς Ἁγίας Εὐβούλης.**

Χαίροις τήν οὐράνιον νῦν χαράν, ὡς ἀθλητομήτωρ, καί Ἁγίων συγκοινωνός, ἔνδοξε Εὐβούλη, ὅθεν ἐκ πάσης λύπης, καί πάσης ἀθυμίας ἡμᾶς ἀπάλλαξον.

**Ἀμφοτέρων.**

Δόξης ἀπολαύοντες θεϊκῆς, ὦ Πανελεήμων, τοῦ ἐλέους ὁ θησαυρός, καί σεμνή Εὐβούλη, δυάς δεδοξασμένη, ἡμῖν ἐξιλεοῦσθε, τόν μόνον εὔσπλαχνον.

**Δίστιχον.**

**Εὐβούλως Εὐβούλη με βιοῦν ἐν κόσμῳ**
**Γεράσιμον ἔρρωσον τόν σέ ὑμνοῦντα.**